A

## ΧΟΡΟΣ.

Ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἀνημμένας χρὴ
Ξυζωσαμένας εὖ κἀνδρείως, τῶν θ' ἱματίων ἀποδούσας
Ζητεῖν εἴπου τἄλλος τις ἀνὴρ εἰσελήλυθεν, καὶ περιθρέξαι
B
Τὴν Πύκνα πᾶσαν· καὶ τὰς σκηνὰς καὶ τὰς διόδους ἀθρῆσαι.

## CHORUS.

*Nos igitur post hoc iam faces accensas habentes oportet,*
*Succinctas bene & viriliter, indumentisque exutas*
*Quærere, sicubi num alius aliquis vir ingressus est, & circumcurrere*
*Curiam totam, & scenas & transitus lustrare.*

BISETUS. Ἡμᾶς τοίνυν] στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δ'. ὧν ὁ τελευταῖος σπονδεῖον, οὐκ ἀνάπαιστον παραλήγοντα ἔχει, ὃν τινες Λακωνικὸν καλοῦσιν ὥς φησιν Ἡφαιστίων. εἶτα τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δ'. μεθ' οὓς στίχοι μικτοὶ κδ'. καὶ αὖθις τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δύο. ὁ δὲ
C
χορὸς ἐνταῦθα κατὰ πᾶσαν ἐκκλησίαν μεθ' ἡμμένων λαμπάδων (τὰ γὰρ Θεσμοφόρεια νύκτωρ ἐτελεῖτο) ζητεῖ εἴπου καὶ τις ἄλλος ἀνὴρ λέληθεν εἰσελθών. Ἀποδούσας] κατ' ἐκβολὴν τοῦ υ. ἀντὶ τοῦ ἀποδυούσας, ἀποδυσαμένας. ἀποδύειν, ἀποδῦναι, ἀποδύσασθαι, ἐκδύειν, ἐκδύσασθαι δηλοῖ. τὸ δὲ Πύκνα, κατὰ μετάθεσιν, ἀντὶ τοῦ Πνύκα. περὶ δὲ ταύτης ἤδη πολλὰ προείρηται. τὸ δὲ ἀθρῆσαι, τὸν στίχον τελειοῖ, ὃς Λακωνικὸς καλεῖται, ὡς ἄνω εἴρηται. περιθρέξαι δὲ, περιδραμεῖν. ἐξορμᾶν πόδα, κινεῖν, ἐκκινεῖν, ἐκφέρειν. τουτέστιν ὁρμᾶσθαι, μετὰ σπουδῆς ἔρχεσθαι. ἀνόσια, οὐχ ὅσια, βέβηλα, ἄδικα, ἄνομα, ἀσεβῆ.

BOURDINUS. Περιθρέξαι.] περισκοπεῖν, περιαθρεῖν καὶ διερευνᾶν. Πνύκα.] πνὺξ τόπος ἦν ἐν Ἀθήναις ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο, παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτάς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις, ἢ ἀπὸ τῆς τῶν λίθων πυκνότητος. τὴν πνύκα δὴ ἐνταῦθα καλεῖ τὴν σύνοδον καὶ ἐκκλησίαν ἅπασαν. Διόδους.] τὰς ἀμφόδους.

D

## ΗΜΙ. ΓΥΝΑΙΚΩΝ.

Εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα
Καὶ διασκοπεῖν σιωπῇ. μόνον δὲ χρὴ πανταχῇ
Μὴ βραδύνειν, ὡς καιρός ἐστι μὴ μέλλειν ἔτι.
Ἀλλὰ τὴν πρώτην τρέχειν χρὴ ὡς τάχιστ' ἤδη κύκλῳ.
E
Εἶα νῦν ἴχνευε, καὶ μάτευε ταχὺ πάν-
Τ' εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
Πανταχῇ διάρριψον ὄμμα.
Καὶ τὰ τῇδε, καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
Ἢν γὰρ μὴ λάθῃ, δράσας ἀνόσια.
Δώσει τε δίκην. καὶ πρὸς τούτῳ
F
Τοῖς ἄλλοις ἅπασιν ἔσται
Παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
Ἀθέων τε τρόπων.
Φήσει δ' εἶναί τε θεοὺς φανερῶς.
Δείξει τ' ἤδη
Πᾶσιν ἀνθρώποις, σεβίζειν δαίμονας
Δικαίως τ' ἐφέποντας

## SEMICHORUS MULIERUM.

*Eia verò, primùm quidem oportet leuem excitare pedem,*
*Et dispicere silentio: solum autem oportet quocunque*
*Non tardare, quoniam occasio est non morandi amplius:*
*Sed primo quoque tẽpore currere oportet quàm citissimè iam circumcirca.*
*Eia, nunc inuestiga, & inquire celeriter omnia,*
*Si quis in locis subsessor alius rursus latet existens,*
*Quocunque disiice oculum:*
*Et quæ hac parte sunt, & illa omnia explora bene.*
*Si enim non latuerit nos agens iniqua & impia,*
*Dabitque pœnas, & ad hoc*
*Aliis omnibus erit*
*Exemplum iniuriæ, iniustorúmque operum*
*Impiorúmque morum.*
*Dicet autem esséque deos manifestò,*
*Ostendétque iam*
*Omnibus hominibus colere deos,*
*Iustéque administrantes,*

BOURDINUS. Εἶα.] ἐπίρρημα προθυμίας μεστὸν καὶ παροξυντικὸν πρὸς τὴν πρᾶξιν. Κοῦφον ἐξορμᾶν πόδα.] τουτέστι κούφως βαδίζειν καὶ ἠρέμα, ὥστε σπεύδειν καὶ μὴ ἐπακούεσθαι. Βραδύνειν.] μέλλησιν τινὰ ποιεῖσθαι. Ἴχνευε.] βάδιζε. Μάτευε.] βασάνιζε, ἐξέταζε. Ἑδραῖος.] λάθρα ἕζεται ἐν τόποις. Διάρριψον ὄμμα.] ἀμφίβαλλου
G
καὶ περιφέρου τὸ ὄμματα. Ἀνασκόπει.] διάθρει. Παράδειγμα.] οὕτως πληγήσεται καὶ τοιαύτην δώσει δίκην, ὥστε πᾶσιν ἔνδειγμα εἶναι καὶ παράδειγμα πρὸς τὴν ἔκπληξιν. Σεβίζειν.] σεβαστικῶς προσφέρεσθαι πρὸς τοὺς δαίμονας. Ἐφέποντας.] ὑπηρετοῦντας, διοικοῦντας.

BISETUS. Ἐφέποντας] διέποντας, διοικοῦντας.